# TEZAUR LITURGIC

## 29 OCTOMBRIE

# SLUJBA
# SF.CUVIOS-MUCENIC
# TIMOTEI
# ESFIGMENITUL
# DE LA
# ADRIANOPOL

ATENA,2020


ΑΠΟΣΤΟΛΙΚΗ ΔΙΑΚΟΝΙΑ
ΤΗΣ ΕΚΚΛΗΣΙΑΣ ΤΗΣ ΕΛΛΑΔΟΣ

# 29 ΟΚΤΩΒΡΙΟΣ
# ΤΙΜΟΘΕΟΣ ΝΕΟΣ ΟΣΙΟΜΑΡΤΥΣ ΕΣΦΙΓΜΕΝΙΤΗΣ
# ΑΚΟΛΟΥΘΙΑ

## ΕΣΠΕΡΙΝΟΣ

Μετὰ τὸν Προοιμιακὸν ψαλμόν, στιχολογοῦμεν τὴν α΄ στάσιν τοῦ Μακάριος ἀνήρ. Εἰς δὲ τὸ Κύριε ἐκέκραξα, ἱστῶμεν στίχους στ΄, καὶ ψάλλομεν στιχηρὰ Προσόμοια. Ἦχος α΄. Πανεύφημοι Μάρτυρες.

Παμμάκαρ Τιμόθεε Χριστόν, ἐκ ψυχῆς ἠγάπησας, καὶ δι᾽ αὐτὸν τὴν εὐπάθειαν, σαρκὸς ἐμίσησας, τὸν σταυρόν σου ἄρας, καὶ μονάσας πρότερον, καὶ χαίρων τὸ σὸν αἷμα ἐξέχεας, διὸ τὴν μνήμην σου, τὴν ἐτήσιον γεραίρομεν, τὸν Σωτῆρα Χριστὸν μεγαλύνοντες.

Παμμάκαρ Τιμόθεε ῥοαῖς, τῶν σεπτῶν αἱμάτων σου, Λευϊάθαν τὸν ἀρχέκακον, τὸν σὲ πτερνίσαντα, ἐβύθισας ὄντως, καὶ τοῖς θείοις ἄθλοις σου, τελείᾳ ἀφανείᾳ παρέδωκας, διὸ τὴν μνήμην σου, ἡ Μονὴ τοῦ Ἐσφιγμένου νῦν, ἑορτάζει πόθῳ εὐφημοῦσά σε.

Τρισμάκαρ Τιμόθεε ἡμῖν, ὡς ἀστὴρ ἐξέλαμψας, νεοφανὴς τὴν σκοτόμαιναν, Μωάμεθ ἅπασαν, τὴν κατασχεθεῖσαν, εἰς τὰ κόσμου πέρατα, ἀκτῖσι τοῦ λαμπροῦ μαρτυρίου σου, λύων πανεύφημε, καὶ

φωτίζων τοὺς τιμῶντάς σε, καὶ θερμαίνων, πρὸς πόθον τοῦ κτίσαντος.

Ἕτερα. Ἦχος β'. Ὅτε ἐκ τοῦ ξύλου.

Ὅτε, εἰς μετάμελον πικρόν, πτώματος οὗ πέπονθας ἦλθες, Μάρτυς Τιμόθεε, καὶ Μονὴν κατέλαβες, τοῦ Ἐσφιγμένου θερμῶς, καὶ τὸ σχῆμα τὸ ἅγιον, καλῶς ἐνεδύσω, πόνοις τε καὶ δάκρυσι, κατατηκόμενος, τότε, τῶν δαιμόνων τὰ στίφη, σὺν ὀλολυγμῷ ἀνεβόων· ὢ πῶς ἀπωλέσαμεν ὃν εἴχομεν.

Ὅτε, πρὸς τὴν ἄθλησιν στεῤῥῶς, ἔδραμες αὐτόκλητος Μάρτυς, καὶ ἐπὶ βήματος, λαμπρῶς ὡμολόγησας, πίστιν τὴν ἔνθεον, καὶ Μωάμεθ διήλεγξας, τὴν ἔχθιστον πλάνην, τότε τὸ παράστημα, τὸ γενναιότατον, σοῦ οἱ ἀσεβεῖς ἐκπλαγέντες, αἰσχύνης τ' ἀμέτρου πλησθέντες, ἐν εἱρκτῇ ζοφώδει κατεδίκασαν.

Ὅτε, ἐκτετέλεκας καλῶς, τὸν τοῦ μαρτυρίου σου δρόμον, καὶ καρατόμησιν, καὶ χύσιν σοῦ αἵματος, χαίρων ὑπήνεγκας, δι' ἀγάπην τοῦ Κτίστου σου, Τιμόθεε τότε, ἅπαντες οἱ Μάρτυρες, σοὶ προϋπήντησαν, δεῦρο, Νεομάρτυς βοῶντες· δεῦρο μεθ' ἡμῶν συναγάλλου, εἰς τὰ ὑπερκόσμια σκηνώματα.

Δόξα. Ἦχος δ'.

Κροτήσωμεν σήμερον, ἐπὶ τῇ μνήμῃ Τιμοθέου τοῦ Νέου Ὁσιομάρτυρος, ὁμωνυμήσας γὰρ οὗτος Τιμοθέῳ τῷ Ἱερομάρτυρι καὶ Ἀποστόλῳ, τῇ μιμήσει τοῦ μαρτυρίου καὶ συνώνυμος ἀληθῶς ἐκείνῳ ἐγένετο,

τιμήσας Θεὸν τῇ ὁμολογίᾳ τῆς ἀκραιφνοῦς ἡμῶν πίστεως, ὅθεν καὶ τοῖς τιμῶσιν αὐτὸν ἀξίως, παρέχει πλουτοποιὰ ἰαμάτων χαρίσματα, καὶ πρεσβεύει ἀπαύστως, ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Καὶ νῦν. Θεοτοκίον.

Ὁ διὰ σὲ Θεοπάτωρ προφήτης Δαυῒδ, μελῳδικῶς περὶ σοῦ προανεφώνησε, τῷ μεγαλεῖά σοι ποιήσαντι. Παρέστη ἡ Βασίλισσα ἐκ δεξιῶν σου. Σὲ γὰρ μητέρα πρόξενον ζωῆς ἀνέδειξεν, ὁ ἀπάτωρ ἐκ σοῦ ἐνανθρωπῆσαι εὐδοκήσας Θεός, ἵνα τὴν ἑαυτοῦ ἀναπλάσῃ εἰκόνα, φθαρεῖσαν τοῖς πάθεσι, καὶ τὸ πλανηθὲν ὀρειάλωτον εὑρών, πρόβατον τοῖς ὤμοις ἀναλαβών, τῷ Πατρὶ προσαγάγῃ, καὶ τῷ ἰδίῳ θελήματι, ταῖς οὐρανίαις συνάψῃ Δυνάμεσι, καὶ σώσῃ Θεοτόκε τὸν κόσμον, Χριστὸς ὁ ἔχων, τὸ μέγα καὶ πλούσιον ἔλεος.

Εἴσοδος, Φῶς ἱλαρόν, τὸ Προκείμενον τῆς ἡμέρας καὶ τὰ Ἀναγνώσματα.

Προφητείας Ἡσαΐου τὸ Ἀνάγνωσμα. (Κεφ. Μγ΄ 914).

Τάδε λέγει Κύριος· πάντα τὰ ἔθνη συνήχθησαν ἅμα, καὶ συναχθήσονται ἄρχοντες ἐξ αὐτῶν. Τίς ἀναγγελεῖ ταῦτα ἐν αὐτοῖς ἢ τὰ ἐξ ἀρχῆς τίς ἀκουστὰ ποιήσει ὑμῖν; Ἀγαγέτωσαν τοὺς μάρτυρας αὐτῶν, καὶ δικαιωθήτωσαν, καὶ εἰπάτωσαν ἀληθῆ. Γίνεσθε μοι μάρτυρες καὶ ἐγὼ μάρτυς Κύριος ὁ Θεός, καὶ ὁ παῖς μου, ὃν ἐξελεξάμην ἵνα γνῶτε, καὶ πιστεύσητε καὶ

συνῆτε, ὅτι ἐγὼ εἶμι, ἔμπροσθέν μου οὐκ ἐγένετο ἄλλος Θεός· καὶ μετ᾽ ἐμὲ οὐκ ἔσται· ἐγὼ εἶμι Θεός, καὶ οὐκ ἐστὶ πάρεξ ἐμοῦ ὁ σῴζων ἐγὼ ἀνήγγειλα καὶ ἔσωσα, ὠνείδισα, καὶ οὐκ ἦν ἐν ὑμῖν Θεὸς ἀλλοτριος· ὑμεῖς ἐμοὶ μάρτυρες, καὶ ἐγὼ Κύριος ὁ Θεός, ὅτι ἀπ᾽ ἀρχῆς ἐγὼ εἶμι, καὶ οὐκ ἐστὶν ὁ ἐκ τῶν χειρῶν μου ἐξαιρούμενος· ποιήσω, καὶ τίς ἀποστρέψει αὐτό; Οὕτω λέγει Κύριος ὁ Θεός, ὁ λυτρούμενος ὑμᾶς, ὁ ἅγιος Ἰσραήλ.

Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα.(Κεφ. Γ 19]

Δικαίων ψυχαὶ ἐν χειρὶ Θεοῦ, καὶ οὐ μὴ ἅψηται αὐτῶν βάσανος. Ἔδοξαν ἐν ὀφθαλμοῖς ἀφρόνων τεθνᾶναι, καὶ ἐλογίσθη κάκωσις ἡ ἔξοδος αὐτῶν, καὶ ἡ ἀφ᾽ ἡμῶν πορεία σύντριμμα· οἱ δὲ εἶσιν ἐν εἰρήνῃ. Καὶ γὰρ ἐν ὄψει ἀνθρώπων ἐὰν κολασθῶσιν, ἡ ἐλπὶς αὐτῶν ἀθανασίας πλήρης. Καὶ ὀλίγα παιδευθέντες, μεγάλα εὐεργετηθήσονται ὅτι ὁ Θεὸς ἐπείρασεν αὐτούς, καὶ εὗρεν αὐτοὺς ἀξίους ἑαυτοῦ. Ὡς χρυσὸν ἐν χωνευτηρίῳ ἐδοκίμασεν αὐτούς, καὶ ὡς ὁλοκάρπωμα θυσίας προσεδέξατο αὐτούς. Καὶ ἐν καιρῷ ἐπισκοπῆς αὐτῶν ἀναλάμψουσι, καὶ ὡς σπινθῆρες ἐν καλάμῃ διαδραμοῦνται. Κρινούσιν ἔθνη, καὶ κρατήσουσι λαῶν, καὶ βασιλεύσει αὐτῶν Κύριος εἰς τοὺς αἰῶνας. Οἱ πεποιθότες ἐπ᾽ αὐτῷ, συνήσουσιν ἀλήθειαν, καὶ οἱ πιστοὶ ἐν ἀγάπῃ προσμενούσιν αὐτῷ" ὅτι χάρις καὶ ἔλεος ἐν τοῖς ὁσίοις αὐτοῦ, καὶ ἐπισκοπῇ ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ.

Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα. (Κεφ.Ε΄15,στ΄3).
Δίκαιοι εἰς τὸν αἰῶνα ζῶσι, καὶ ἐν Κυρίῳ ὁ μισθὸς αὐτῶν, καὶ ἡ φροντὶς αὐτῶν παρὰ Ὑψίστῳ. Διὰ τοῦτο λήψονται τὸ βασίλειον τῆς εὐπρεπείας, καὶ τὸ διάδημα τοῦ κάλλους ἐκ χειρὸς Κυρίου ὅτι τῇ δεξιὰ αὐτοῦ σκεπάσει αὐτούς, καὶ τῷ βραχίονι ὑπερασπιεῖ αὐτῶν. Λήψεται πανοπλίαν τὸν ζῆλον αὐτοῦ καὶ ὁπλοποιήσει τὴν κτίσιν εἰς ἄμυναν ἐχθρῶν. Ἐνδύσεται θώρακα, δικαιοσύνην καὶ περιθήσεται κόρυθα, κρίσιν ἀνυπόκριτον. Λήψεται ἀσπίδα ἀκαταμάχητον, ὁσιότητα· ὀξυνεῖ δὲ ἀπότομον ὀργὴν εἰς ῥομφαῖαν συνεκπολεμήσει αὐτῷ ὁ κόσμος ἐπὶ τοὺς παράφρονας. Πορεύσονται εὔστοχοι βολίδες ἀστραπῶν καὶ ὡς ἀπὸ εὐκύκλου τόξου, τῶν νεφῶν, ἐπὶ σκοπὸν ἁλοῦνται καὶ ἐκ πετροβόλου θυμοῦ πλήρεις ῥιφήσονται χάλαζαι. Ἀγανακτήσει κατ᾽ αὐτῶν ὕδωρ θαλάσσης, ποταμοὶ δὲ συγκλύσουσιν ἀποτόμως· ἀντιστήσεται αὐτοῖς πνεῦμα δυνάμεως, καὶ ὡς λαίλαψ ἐκλικμήσει αὐτοὺς καὶ ἐρημώσει πᾶσαν τὴν γῆν ἀνομία, καὶ ἡ κακοπραγία περιτρέψει θρόνους δυναστῶν. Ἀκούσατε οὖν βασιλεῖς, καὶ σύνετε· μάθετε δικασταὶ περάτων γῆς· ἐνωτίσασθε οἱ κρατοῦντες πλήθους, καὶ γεγαυρωμένοι ἐπὶ ὄχλοις ἐθνῶν ὅτι ἐδόθη παρὰ Κυρίου ἡ κράτησις ὑμῖν, καὶ ἡ δυναστεία παρὰ Ὑψίστου.

Λιτή. Ἦχος α΄.

Ἀνελθὼν εἰς οὐρανούς, ὅθεν καὶ κατῆλθες, μὴ ἐάσῃς ἡμᾶς ὀρφανοὺς Κύριε, ἐλθέτω σου το Πνεῦμα, φέρον εἰρήνην τῷ κόσμῳ. Δεῖξον τοῖς υἱοῖς τῶν ἀνθρώπων, ἔργα δυνάμεώς Σου, Κύριε φιλάνθρωπε.

Ὁ αὐτός.

Ὁσιομάρτυς Τιμόθεε, σὺ τῷ πυρὶ τῆς θείας ἀγάπης πυρούμενος, ἰδεῖν τὸ πρόσωπον Χριστοῦ τοῦ Θεοῦ ἐπεθύμησας, καὶ δι᾽ ἀσκήσεως πρότερον καθαρθείς, διὰ δὲ τῆς στεῤῥᾶς σου ἀθλήσεως ὕστερον, τῇ ἐκχύσει τοῦ σοῦ αἵματος, ὡς ὄρνις εὐκέλαδος, εἰς καλιὰν ἀνέπτης οὐράνιον, καὶ τοῦ πόθου σου ἐντυχών, νῦν ἐν τῷ οἴκῳ μένεις τῆς βασιλείας, αἰωνίαν σωτηρίαν τῷ οἴκῳ τῆς ψυχῆς σου εὑράμενος, ἔνθα Ἰησοῦς ὁ στεφοδότης, ἐν δεξιᾷ Πατρὸς κάθηται, ᾧ καὶ πρεσβεύεις ἀδιαλείπτως, ὑπὲρ ἡμῶν τῶν πόθῳ τιμώντων σε.

Ὁ αὐτός.

Ἀγάλλου εἰς αἰῶνας Ὁσιόαθλε Τιμόθεε, παρῆλθε γὰρ ὁ χειμὼν ὁ δριμὺς τῶν ἀγώνων σου, οὓς ἐποίεις ἐν τῇ τοῦ κλαυθμῶνος κοιλάδι, ὁ δὲ τῆς τέρψεώς σου παρέστι νῦν, κατοικοῦντι ἔνθα ἀπέδρα ὀδύνη λύπη καὶ στεναγμός, ἔνθα περιχορεύων μετὰ Ἀγγέλων καὶ Ἁγίων, μέμνησο καὶ ἡμῶν μεμνημένων σου, πρεσβεύων συμμεριστὰς τῆς χαρᾶς σου γενέσθαι, καὶ ἡμᾶς τοὺς ἐκ πόθου σε γεραίροντας.

Ἦχος β'.

Τὸν λαμπρὸν ἀριστέα τοῦ Χριστοῦ, καὶ Νεομάρτυρα Τιμόθεον μακαρίσωμεν, ἐπαινοῦντες αὐτοῦ τὴν συντετριμμένην μετάνοιαν, τὸ πρὸς τὴν ἄθλησιν πρόθυμον, καὶ ἀκατάπληκτον, καὶ τὸ διὰ καρατομίας μακάριον τέλος. Διὸ καὶ τὸν τοῦ μαρτυρίου δικαίως ἐκομίσατο στέφανον, παρὰ Χριστοῦ τοῦ Θεοῦ, τοῦ σῴζοντος τὰς ψυχὰς ἡμῶν.

Ἦχος δ'.

Τιμὴ Θεοῦ, καὶ ἀνθρώπων ἔπαινος, ἀνεδείχθης Ὁσιόαθλε Τιμόθεε, ἐν σταδίῳ κηρύξας Χριστὸν τὸν Θεὸν ἡμῶν, καὶ ἐναντίων τυράννων αὐτὸν ὁμολογήσας. Διὸ μὴ παύσῃ πρεσβεύων ὑπὲρ τῆς φίλης σου ταύτης Μονῆς, τῆς ἐκ πόθου τελούσης τὴν μνήμην σου πιστῶς, τὸν μόνον φιλάνθρωπον σῴζεσθαι ἄτρωτον.

Δόξα. Ἦχος πλ. Α'

Διὰ πόθον Χριστοῦ τρισμάκαρ Τιμόθεε, τὸ σῶμά σου παρέδωκας εἰς μάστιγας, καὶ πληγὴν μαχαίρας, ἀλλὰ καὶ ὑπὲρ νοῦν καὶ λόγον Χριστός σοι ἀμείβεται. Καταφρονήσας γὰρ φθειρομένης σαρκός, καὶ προσκαίρου ζωῆς, ἔφθασας εἰς τὸν λιμένα τῆς καταπαύσεως, εἰς τὴν πόλιν τὴν ἁγίαν τὴν ἐπουράνιον Ἱερουσαλήμ, εἰς τὴν ἐκκλησίαν τῶν πρωτοτόκων, ἐν ᾗ τρανώτερον τοῦ θείου κάλλους ἐπεντρυφῶν, καὶ ἡμᾶς τυχεῖν πρέσβευε δεόμεθα.

Καὶ νῦν. Θεοτοκίον.
Μακαρίζομέν σε Θεοτόκε Παρθένε, καὶ δοξάζομέν σε οἱ πιστοὶ κατὰ χρέος, τὴν πόλιν τὴν ἄσειστον, τὸ τεῖχος, τὸ ἄῤῥηκτον, τὴν ἀῤῥαγῆ προστασίαν, καὶ καταφυγήν τῶν ψυχῶν ἡμῶν.

Εἰς τὸν Στίχον. Ἦχος πλ. Δ΄. Ὢ τοῦ παραδόξου θαύματος.
Δεῦτε, τιμήσωμεν ᾄσμασι, τὸν Ἀθλοφόρον Χριστοῦ, καὶ ἀήττητον Μάρτυρα, τὸν Νέον Τιμόθεον, Παραώρας τὸ καύχημα, Κισανίου, κλέος περίδοξον, καὶ Ἐσφιγμένου, Μονῆς τὸ ἥδυσμα, πίστεως φύλακα, ἐκκλησίας στέφανον καὶ χαρμονήν, καὶ τιμῆς ὑπόθεσιν, Θεοῦ Τιμόθεον.
Στ.: Θαυμαστὸς ὁ Θεός, ἐν τοῖς Ἁγίοις Αὐτοῦ.
Πᾶσαν, τοῦ ἐχθροῦ τὴν ἔφοδον, καὶ τῶν ἀπίστων ὁρμάς, καταλύσας τῇ χάριτι, τὸν τῆς νίκης στέφανον, ἀνεδύσω Τιμόθεε, τῆς ἀκηράτου, ἀγαλλιάσεως, καὶ τῆς ἀφράστου, καταξιούμενος, θείας ἐλλάμψεως, ἔνθα νῦν γενόμενος ἁμαρτιῶν, αἴτησαι τὴν ἄφεσιν, τοῖς εὐφημοῦσί σε.
Στ.: Τοῖς Ἁγίοις τοῖς ἐν τῇ γῇ Αὐτοῦ, ἐθαυμάστωσεν ὁ Κύριος.
Σοῦ, προσκυνοῦμεν τὰ ἄμφια, καὶ τὴν Εἰκόνα πιστῶς, ὦ γενναῖε Τιμόθεε, καὶ σὲ ἱκετεύομεν, ἀπὸ πάσης κακώσεως, ὀργῆς καὶ βλάβης, παντοίας λύτρωσαι, ποίμνην τὴν πόθῳ, ἀνευφημοῦσάν σε, καὶ μετὰ

θάνατον, ῥῦσαι τῆς κολάσεως καὶ οὐρανῶν, βασιλείας ποίησον, μέτοχους ἡμᾶς.
Δόξα. Ἦχος πλ. Δ'.
Σήμερον Ἐσφιγμένου Μονή, τὰς πρὸς τὸν Ἰωσὴφ εὐλογίας ἀναλαβοῦσα βοᾷ σοι, καθάπερ ὁ Πατριάρχης Ἰακώβ, ὡς καλὴ καὶ φιλόπαις μήτηρ σου Τιμόθεε ἔνδοξε· υἱός μου εἶ σὺ ηὐξημένος, πρός με ἀνάστρεψον, καὶ πρέσβευε ἀπαύστως τῷ σῷ κατὰ χάριν Πατρί, καὶ ἐμῷ Νυμφίῳ Χριστῷ τῷ Θεῷ, ὅπως σώσῃ τὴν ποίμνην ταύτην τὴν ἐμοὶ οἰκοῦσαν, ἐκ λύκων νοητῶν, καὶ πάσης λώβης ἀπήμονα, καὶ εἰσάξῃ εἰς τὴν Βασιλείαν Αὐτοῦ τὴν οὐράνιον.
Καὶ νῦν. Θεοτοκίον.
Δέσποινα πρόσδεξαι τὰς δεήσεις τῶν δούλων Σου, καὶ λύτρωσαι ἡμᾶς, ἀπὸ πάσης ἀνάγκης καὶ θλίψεως.

Νῦν ἀπολύεις. Τρισάγιον.
Ἀπολυτίκιον. Ἦχος α'. Τῆς ἐρήμου πολίτης.
Τὸν Θεὸν ὡς τιμήσας φερωνύμως Τιμόθεε, δι᾽ ἀθλήσεως πόνων προσηνέχθης ὡς τίμιον, καὶ ἄμωμον θῦμα καὶ δεκτή, τρισμάκαρ ἐγένου προσφορά, ὅθεν πόθῳ συνελθόντες, τοὺς σοὺς ἀγῶνας ἐν ὕμνοις γεραίρομεν· δόξα τῷ ἐνισχύσαντι Χριστῷ, δόξα τῷ θαυμαστώσαντι, δόξα τῷ τὴν σεπτήν σου μνήμην δοξάσαντι.
Δόξα. Καὶ νῦν. Θεοτοκίον.
Τοῦ Γαβριὴλ φθεγξαμένου σοι Παρθένε τὸ Χαῖρε, σὺν τῇ φωνῇ ἐσαρκοῦτο ὁ τῶν ὅλων Δεσπότης, ἐν σοὶ τῇ

ἁγίᾳ κιβωτῷ, ὡς ἔφη ὁ δίκαιος Δαυΐδ. Ἐδείχθης πλατυτέρα τῶν οὐρανῶν, βαστάσασα τὸν Κτίστην σου. Δόξα τῷ ἐνοικήσαντι ἐν σοί· δόξα τῷ προελθόντι ἐκ σοῦ· δόξα τῷ ἐλευθερώσαντι ἡμᾶς, διὰ τοῦ τόκου σου. Ἀπόλυσις.

## ΟΡΘΡΟΣ

Μετὰ τὴν α΄ στιχολογίαν, κάθισμα. Ἦχος δ΄. Ταχὺ προκατάλαβε.
Τὸ πῦρ ἀγαπήσεως τῆς πρὸς Χριστὸν τὸν Θεόν, ἐν βάθει καρδίας σου, ἔχων σοφὲ τὸ γλυκύ, μὴ φέρων τὴν φλόγα δέ, ἔσπευσας διαβῆναι, πρὸς Αὐτὸν Ἀθλοφόρε, θᾶττον διὰ θανάτου, καὶ βασάνων ποικίλων, καὶ νῦν Χριστῷ ἑνωθείς, ἔστης τοῦ πόθου σου.
Δόξα. Καὶ νῦν. Θεοτοκίον.
Ταχὺ δέξαι Δέσποινα, τὰς ἱκεσίας ἡμῶν, καὶ ταύτας προσάγαγε, τῷ σῷ Υἱῷ καὶ Θεῷ, Κυρία Πανάχραντε, λῦσον τὰς περιστάσεις, τῶν εἰς σὲ προστρεχόντων, σκέδασον τὰς ἐνέδρας, καὶ τὰ θράση Παρθένε, τῶν νῦν ἐφοπλιζομένων, κατὰ τῶν δούλων σου.

Μετὰ τὴν β΄ στιχολογίαν, κάθισμα. Ἦχος πλ. Α΄. Τὸν Συνάναρχον Λόγον.
Φυτευθεὶς ὥσπερ ξύλον Μάρτυς Τιμόθεε, διεξόδοις ὑδάτων ῥείθροις αἱμάτων σου, συνεργείᾳ θεϊκῇ καρποὺς τῶν ἄθλων σου, ἐν καιρῷ περιφανῶς, τῷ

φυτουργῷ καὶ Ποιητῇ, ἀπέδωκας διὰ τοῦτο, τὴν σὴν ἁγίαν ὑμνοῦμεν, μνήμην τιμῶντές σε παμμακάριστε.
Δόξα. Καὶ νῦν. Θεοτοκίον.
Χαῖρε ἅγιον ὄρος καὶ θεοβάδιστον, χαῖρε ἔμψυχε βάτε καὶ ἀκατάφλεκτε, χαῖρε ἡ μόνη πρὸς Θεὸν κόσμου γέφυρα, ἡ μετάγουσα θνητούς, πρὸς τὴν αἰώνιον ζωήν, χαῖρε ἀκήρατε Κόρη, ἡ ἀπειράνδρως τεκοῦσα, τὴν σωτηρίαν τῶν ψυχῶν ἡμῶν.

Μετὰ τὸν Πολυέλεον, κάθισμα. Ἦχος γ'. Τὴν ὡραιότητα.
Ζωὴν τὴν ἄπονον, εὗρες Τιμόθεε, Θεὸν τιμήσας γάρ, ἄθλοις κεκλήρωσαι, τὰ ἀγαθὰ ἃ ὀφθαλμός, οὐκ εἶδεν οὐδὲ ἤκουσεν, οὗς οὐδὲ διάνοια, τῶν ἀνθρώπων, ἠννόησεν, ἃ Θεὸς ἡτοίμασε τοῖς Αὐτὸν ἀγαπήσασιν, ὧν καὶ ἡμᾶς μετασχεῖν σὺν σοὶ δυσώπει, τοὺς ἐκτελοῦντας τὴν μνήμην σου.
Δόξα. Καὶ νῦν. Θεοτοκίον.
Τὴν ὡραιότητα τῆς παρθενίας σου, καὶ τὸ ὑπέρλαμπρον τὸ τῆς ἁγνείας σου, ὁ Γαβριὴλ καταπλαγεὶς ἐβόα σοι Θεοτόκε· Ποῖόν σοι ἐγκώμιον, προσαγάγω ἐπάξιον, τί δὲ ὀνομάσω σε; ἀπορῶ καὶ ἐξίσταμαι· διὸ ὡς προσετάγην βοῶ σοι· Χαῖρε ἡ Κεχαριτωμένη.

Οἱ Ἀναβαθμοί· τὸ α' ἀντίφωνον τοῦ δ' ἤχου.
Προκείμενον: Θαυμαστὸς ὁ Θεός, ἐν τοῖς Ἁγίοις Αὐτοῦ.

Στ.: Τοῖς Ἁγίοις τοῖς ἐν τῇ γῇ Αὐτοῦ, ἐθαυμάστωσεν ὁ Κύριος.
Εὐαγγέλιον.
Ὁ Ν ́ ψαλμός.
Δόξα: Ταῖς τοῦ Ἀθλοφόρου...
Καὶ νῦν: Ταῖς τῆς Θεοτόκου...
Ἰδιόμελον. Ἦχος πλ. Β ́. Στ.: Ἐλεῆμον, ἐλέησόν με ὁ Θεός...
Ταῖς ἀπαύστοις φωτοδοσίαις τῆς ὑπὲρ νοῦν θεαρχίας, καταλαμπόμενος Ὁσιόαθλε Τιμόθεε. Αἴτησαι ἡμῖν τοῖς τιμῶσί σε, φωτισμὸν καὶ ἱλασμόν, καὶ μέγα ἔλεος.

Εἶτα οἱ Κανόνες· τῆς Θεοτόκου εἰς στ ́· καὶ τοῦ Ὁσιομάρτυρος εἰς στ ́, οὗ ἡ Ἀκροστιχίς: Νέον γεραίρω Τιμόθεον τοῖς λόγοις.

ᾨδὴ α ́. Ἦχος δ ́. Ἀνοίξω τὸ στόμα μου.
Νοός μου τὴν ζόφωσιν φώτισον θείαις πρεσβείαις σου, καὶ λόγον μοι δώρησαι, Μάρτυς Τιμόθεε, ὅπως μέλψω σου, ἀγῶνας καὶ τὰ ἆθλα, καὶ τὰ ὑπὲρ πίστεως, ἀνδραγαθήματα.
Ἐτίμησας ἔνδοξε Θεὸν σοῖς ἄθλοις Τιμόθεε, ἡμᾶς δὲ κατηύφρανας, ἐπιποθοῦντάς σε, καὶ κατηύγασας, πιστῶν τὰς διανοίας, τροπαίοις τῆς νίκης σου, καὶ ἀριστεύμασιν.
Ὁ πρώην καυχώμενος γῆν ἐξαλείφειν καὶ θάλασσαν, στρουθίον καθάπερ νῦν, ὤφθη Τιμόθεε, τῇ γενναίᾳ

σου, ἀθλήσει στεφηφόρε, καὶ κεῖται ὁ δόλιος, πτῶμα ἐξαίσιον.

Θεοτοκίον.

Νοεῖν οὐ δεδύνηται βρότειος νοῦς Παναμώμητε, τὸ μέγα μυστήριον, τοῦ θείου Τόκου Σου, τὸ γὰρ ἅπασαν, βαστάζοντα τὴν κτίσιν, ἀγκάλαις ἐβάστασας, ὢ ξένον ἄκουσμα.

ᾨδὴ γ΄. Τοὺς Σοὺς ὑμνολόγους Θεοτόκε.

Γελοίαν ἐκήρυξας τὴν πλάνην, Μωάμεθ Τιμόθεε σοφέ, μύθων καὶ λήρων γέμουσαν, καὶ παντὸς ἀτοπήματος, διό σου, τὴν ἐτήσιον μνήμην δικαίως γεραίρομεν.

Ἐθρήνεις πικρῶς τὰς ἁμαρτίας, τὰς σὰς ἐν σεμνείῳ τῷ σεπτῷ, Ἐσφιγμένου Τιμόθεε, συντρίβων τὴν καρδίαν σου, ὅθεν Θεὸς ἀκούσας σου, τοῦ μαρτυρίου ἠξίωσε.

Ῥανίσι δακρύων σου τρισμάκαρ, κατέβρεχες ἔδαφος Μονῆς, Ἐσφιγμένου Τιμόθεε, ζητῶν ἥττας συγχώρησιν, ἧς ὕστερον ἐπέτυχες, ὑπὲρ Χριστοῦ λαβὼν θάνατον.

Θεοτοκίον.

Ἀσπόρως συνέλαβες Παρθένε, ἀκόπως ἐβάστασας ἁγνή, ἀφθόρως δὲ ἐγέννησας, Θεὸν τὸν ὑπερούσιον, ὢ τέρατα παράδοξα! Τίς νοῦς βροτῶν οὐκ ἐξίσταται;

Κάθισμα. Ἦχος δ΄. Ταχὺ προκατάλαβε.

Σταυρὸν ὥσπερ θώρακα ἀναλαβόμενος, πρὸς πάλην ἐχώρησας τῶν ἀοράτων ἐχθρῶν, καὶ αὖθις ἐς ὕστερον,

κατὰ ὁρωμένων, Ὀσιόαθλε ὅθεν, ἔπαθλον ἐκομίσω, θεραπεύειν τὰς νόσους, διό σου ἐκτελοῦμεν τὴν μνήμην Τιμόθεε.
Δόξα. Καὶ νῦν. Θεοτοκίον.
Ἐκαίνισας ἄχραντε τῷ θείῳ Τόκῳ Σου, φθαρεῖσαν τοῖς πάθεσι τῶν γηγενῶν τὴν θνητήν, οὐσίαν καὶ ἤγειρας, πάντας ἐκ τοῦ θανάτου, πρὸς ζωὴν ἀφθαρσίας, ὅθεν Σε κατὰ χρέος, μακαρίζομεν πάντες, Παρθένε δεδοξασμένη, ὡς προεφήτευσας.

ᾨδὴ δ΄. Τὴν ἀνεξιχνίαστον.
Ἵλεων ἀπέργασαι ταῖς σαῖς εὐχαῖς, τὸν Σωτῆρα Μάρτυς Τιμόθεε, ὅπως ῥυσθέντες, αἰωνίζοντος πυρός, δόξης ἀξιωθείημεν, οἱ σὲ ἐξαιρέτως ποθήσαντες.
Ῥώμην καὶ τὴν ἔνστασιν τὴν τῆς ψυχῆς, σοῦ οἱ ἀσεβεῖς κατεπλάγησαν, καὶ σοῦ τὴν κάραν, ἐκτεμόντες ποταμῷ, σῶμα τὸ σὸν ἀπέῤῥιψαν, τὴν αἰσχύνην ὅλως μη φέροντες.
Ὥσπερ Εὐαγγέλιόν τι θαυμαστόν, ἀκοὴν τῆς σῆς τελειώσεως, οἱ σὲ ποθοῦντες, ἐδεξάμεθα σαφῶς, Μάρτυς Χριστοῦ Τιμόθεε, καὶ χαρᾶς ἀῤῥήτου ἐπλήσθημεν.
Θεοτοκίον.
Τίς ἂν ἐξυμνήσῃ τὸ κάλλος τὸ Σόν; ἢ τίς σε δοξάσῃ Θεόνυμφε; ἐν λόγοις οὖσαν, θείας δόξης θησαυρόν; ὅθεν σιγῇ δεόμεθα, σῶσον τοὺς πιστῶς Σε γεραίροντας.

Ὠδὴ ε΄. Ἐξέστη τὰ σύμπαντα.
Ἴσχυσαν οὐδ’ ὅλως σε, πάνδεινα κολαστήρια, οὔτε δωρεῶν αἱ ὑποσχέσεις, ὑπὸ ἀπίστων σοὶ προτεινόμεναι, σῆς ψυχῆς στεῤῥὸν καταβαλεῖν, ἔνδοξε Τιμόθεε, Ἐσφιγμένου τὸ καύχημα.
Μολήσας πρὸς ἄθλησιν, ἐπάτησας Τιμόθεε, λέοντα καὶ δράκοντα εἰκότως, καὶ ᾔσχυνας ὄφιν σκολιόν, δύναμιν φραξάμενος, τοῦ Χριστοῦ τὴν ἀήττητον.
Ὁρώμενα ἅπαντα, ὑπεριδὼν Τιμόθεε, πάντων κατεφρόνησας τῶν τῇδε, ὅθεν ἐβόας τοῖς τυραννοῦσί σε, καὶ ὑπισχνουμένοις δωρεάς, πάντα ταῦτα πέλουσι, ματαιότης παράνομοι.
Θεοτοκίον.
Θεόνυμφε Δέσποινα, Ἀγγέλων τὸ ἐντρύφημα, ῥόδον μυστικὸν τοῦ Παραδείσου, ἐξ οὗ προῆλθε τῆς Θεαρχίας ὀσμή, χαῖρε καὶ κατηύφρανε ψυχάς, τῶν μακαριζόντων Σε, Θεοτόκε ἑκάστοτε.

Ὠδὴ στ΄. Τὴν θείαν ταύτην.
Ἐφάνης ῥόδον ἡδύπνοον, καιροῖς ἐν τοῖς ἐσχάτοις Τιμόθεε, Μάρτυς καὶ ἤνθησας, διὰ στεῤῥᾶς σου ἀθλήσεως, ἡμᾶς εὐωδιάζων τοὺς σὲ γεραίροντας.
Ὅλως διψῶν τὸ ποτήριον, Τιμόθεε τρισμάκαρ αὐτόκλητος, πρὸς πόλιν ἔδραμες, Ἀνδριανοῦ καὶ τὴν κάραν σου, τμηθεὶς τὸ τῆς ἀθλήσεως στέφος εἴληφας.
Καλῶς τὸν δρόμον ἐτέλεσας, σὺν Παύλῳ καὶ τὴν πίστιν ἐτήρησας, Μάρτυς Τιμόθεε, ὅθεν πιστῶς ῥυόμενοι, ἀπαλλαγὴν τῶν νόσων ἀνευφημοῦμέν σε.

Θεοτοκίον.
Θεὸν παιδίον ἐγέννησας, τὸν πάντων πρὸ αἰώνων ὑπάρχοντα, Θεοχαρίτωτε, διὸ κακίαις γηράσαντα, ἐνθέοις ἀρεταῖς με νέον ἀπέργασαι.

Κοντάκιον. Ἡ Παρθένος σήμερον.
Εὐφημεῖ σε ᾄσμασιν, ἡ σὴ Μονὴ Ἐσφιγμένου, καὶ λαμπρῶς γεραίρει νῦν, τοὺς θαυμαστούς σου ἀγῶνας, ἔσπευσας γὰρ τεθνάναι, ὢ ξένον θαῦμα, ἔθυσας, τῷ σῷ Δεσπότῃ καθάπερ θῦμα, τὸ σὸν αἷμα ὡς ἐπόθεις, Μαρτύρων κλέος, σοφὲ Τιμόθεε.

Ὁ Οἶκος.
Μετανοίας τελειοτάτης καὶ ὁλοκαρδίου ὑπόδειγμα σεαυτόν, πᾶσι τοῖς ἀρνησιχρίστοις προέθηκας Ὁσιόαθλε Τιμόθεε. Μεταγνοὺς γὰρ πικρῶς, καὶ ἐν τῷ τοῦ μαρτυρίου σταδίῳ ἀνδρείως ἀποδυθείς, μετὰ παῤῥησίας τὸν Χριστὸν ἀνεκήρυξας, καὶ τὴν κάραν ἐκτμηθείς, στεφανηφόρος εἰς οὐρανοὺς ἀνέδραμες. Διὸ μὴ παύσῃ πρεσβεύων ὑπὲρ ἡμῶν, Μαρτύρων κλέος, σοφὲ Τιμόθεε.

Συναξάριον.
Τῇ ΚΘ´ τοῦ αὐτοῦ μηνός, Μνήμη τοῦ Ἁγίου Νέου Ὁσιομάρτυρος Τιμοθέου τοῦ Ἐσφιγμενίτου.
Τομὴν κεφαλῆς Τιμόθεος ὑπέστη,
Τιμῶν κεφαλήν, Χριστὸν ὅν περ ἠγάπα.

Εἰκάδι ἀμφενάτῃ, ἄορ Τιμόθεον κατέπεφνε.

Ὠδὴ ζ'. Οὐκ ἐλάτρευσαν.
Τί καλεῖτέ με, φρενόληπτον παράφρονες, Μάρτυς Τιμόθεε, ἐβόας τοῖς δικασταῖς, ἐπίγνωτε ἄνομοι, ὡς οὐκ ἐξέστηκα, τὴν δ’ εὐσέβειαν, οὐδέποτε ἀρνήσομαι, κἂν πολλάκις ἀποθάνω.
Ὅλος ἔνθεος, γενόμενος Τιμόθεε, τοῖς ἀπειλοῦσί σοι, Ὀθωμανοῖς εὐθαρσῶς, ἐβόας τὰ βάσανα, ἅ μοι προτείνετε, ξίφος θάνατον, ἀγχόνην οὐδὲν ἥγημαι, δι’ ἀγάπην τοῦ Χριστοῦ μου.
Ἱκεσίαις σου, ταῖς θείαις ἐλευθέρωσον, Μάρτυς Τιμόθεε, τοὺς ὑμνητάς σου ἡμᾶς, ἐκ πάσης κακώσεως, ἐν ὅσῳ πνέομεν, καὶ ἐκλείποντας, εἰς τὰς μονάς σου πρόσδεξαι, κἂν τὸ αἴτημα ᾖ μέγα.
Θεοτοκίον.
Σοῦ Πανύμνητε, τῆς μεσιτείας ἄνευθεν, νόσων βροτῶν τε οὐδείς, ἔχει ἐλθεῖν πρὸς Θεόν, Σὺ γὰρ μόνη γέγονας κοινὸν μεθόριον, κτιστῆς φύσεως, καὶ τῆς ἀκτίστου πάναγνε, ὢ πραγμάτων παραδόξων.

Ὠδὴ η'. Παῖδας εὐαγεῖς.
Λαμπρὰ ἡ πρὸς ἄθλησιν ὁρμή σου, λαμπρὰ δὲ ἡ παράστασίς σου γέγονε, λαμπρὰ καὶ ἡ ἄθλησις, ἔνδοξα τὰ τρόπαια, κατὰ τοῦ πολεμήτορος, ἅπερ ἀνέστησας, τοῦ τρόποις ἐν ποικίλοις τρισμάκαρ, πρὸς τὴν ἄθλησίν σοι, ἐμποδῶν γενομένου.

Ὅλοι ἀσελγεῖς βεβορβορωμένοι, ὅλοι μεματαιωμένοι ὄντως πέλετε, τοῖς ἀπίστοις ἔλεγες, ἔνδοξε Τιμόθεε, καὶ εἰς πῦρ κολασθήσεσθε ἂν μὴ πιστεύσητε, Χριστῷ τῷ ἀληθεῖ Θεοῦ Λόγῳ, καὶ Ποιητῇ κόσμου, λαμπρᾷ φωνῇ ἐβόας.
Γέλως καθωράθη ὁ βελίαρ, λαβὼν ἀνταπόδομα διπλοῦν ὃ δέδωκε, τούτῳ γὰρ Τιμόθεε, συμπλακεὶς τὸ δεύτερον, τὴν σὴν γυναῖκαν ἥρπασας ἀπὸ τοῦ φάρυγγος, καὶ ἔσωσας αὐτὴν ἐκ θανάτου, σὺ δὲ ἐναθλήσας, τὸ στέφος ἐκομίσω.
Θεοτοκίον.
Ὅλος Γαβριὴλ ὁ θεῖος λάμπων, λαμπρότητι ἀρχαγγελικῇ Θεόνυμφε, Σοῦ τῇ ὑπὲρ Ἄγγελον, ἁγνείας λαμπρότητι, ἀντελλαμφθεὶς νενίκηται, Σὲ ἀσπαζόμενος, καὶ γέγονε βραχὺ ὥσπερ ἄστρον, κρυβὲν τῇ ἐλλάμψει, ἀνίσχοντος Ἡλίου.

ᾨδὴ θ΄. Ἅπας γηγενής.
Ἱεροὶ χοροί, Ἀγγέλων ηὐφράνθησαν ἐν τῇ ἀνόδῳ σου, τάγματα Μαρτύρων δέ, φαιδρῶς σκιρτῶντα, σὲ ὑπεδέξαντο, εἰς ἑαυτῶν σκηνώματα, ὡς ἐναθλήσαντα, ψυχῆς γνώμῃ, ἀνδρείᾳ Τιμόθεε, καὶ τὴν πλάνην Μωάμεθ πατήσαντα.
Σήμερον τὴν σήν, πανήγυριν ᾄσμασι Μάρτυς Τιμόθεε, πόθῳ ἑορτάζομεν, οἱ Ἐσφιγμένου Μονῆς οἰκήτορες, ὡς σύνοικον πλουτήσαντες σὲ Ὁσιόαθλε, ἣν συντήρει, μάκαρ ταῖς πρεσβείαις σου, ἐκ δεινῶν συμπτωμάτων ἀπήμονα.

Ἔχεις ἀληθῶς, Μάρτυς τὸν Παράδεισον, νῦν ὃν ἐπόθησας, δι’ ὃν καὶ ἐνήθλησας, τμηθεὶς τὴν κάραν, Μάρτυς Τιμόθεε, ἀλλὰ καὶ ἡμᾶς πρέσβευε τοὺς ἀγαπῶντάς σε, Παραδείσου, γενέσθαι οἰκήτορας, μετὰ σοῦ εἰς αἰῶνα τὸν ἅπαντα.
Θεοτοκίον.
Ὕμνοις Σε ἁγνή, ὑμνῶ τὴν πανύμνητον, ἣν ἡ ἐγκόσμιος καὶ ἡ ὑπερκόσμιος, γλῶσσα καὶ πᾶσα πνοὴ γεραίρουσιν, ὡς τὸν Θεὸν γεννήσασαν τὸν ὑπερύμνητον, ὃν ὑμνοῦσι χιλιάδες χίλιαι, μυριάδες τε μύριοι Ἄγγελοι.

Ἐξαποστειλάριον. Γυναῖκες ἀκουτίσθητε.
Περιχαρῶς τὴν μνήμην σου, ἐκτελοῦμεν Τιμόθεε, οἱ τῆς Μονῆς Ἐσφιγμένου, πλουτοῦντές σε πολιοῦχον, καὶ τὴν σεπτὴν εἰκόνα σου, σχετικῶς ἀσπαζόμεθα, σὺ οὖν ἡμᾶς περίσωζε, ἀπὸ παντοίας ἀνάγκης, καὶ βλάβης τοῦ ἀλλοτρίου.
Θεοτοκίον.
Πορφύρα θεοΰφαντος, καὶ στολὴ θεοποίκιλτος, χρυσοειδὴς διπλοΐς τε, τοῦ Λόγου τοῦ ἀνδρωθέντος, καὶ ὕλη παναρμόνιος, τῆς θείας σωματώσεως, σὺ Μαριὰμ ἀνεδείχθης, ὑπὲρ κατάληψιν πᾶσαν.

Αἶνοι. Ἦχος δ΄. Ὡς γενναῖον ἐν Μάρτυσιν.
Στρατιώτης ἀήττητος, ἀριστεὺς γενναιότατος, κατὰ τοῦ ἀλάστορος Μάρτυς γέγονας, καταβαλὼν ἐν τοῖς ἄθλοις σου, τὴν τούτου παράταξιν, τῇ ἰσχύϊ τοῦ Σταυροῦ, καὶ

τιμήσας τὸν Κύριον, ὦ Τιμόθεε, ὅθεν πάντες τιμῶμέν σου τὴν μνήμην, τὸν Σωτῆρα ἀνυμνοῦντες, τὸν σὲ ἀξίως τιμήσαντα.

Ἡ Μονὴ Ἐσφιγμένου σε, πολιοῦχον ἐκτήσατο, ἀναθρεψαμένη σε, θείῳ Πνεύματι, καὶ τὴν πανεύσημον μνήμην σου, τελοῦσα γεραίρει σου, τοὺς ἀγῶνας τοὺς στεῤῥούς, διὸ πάντες δοξάζομεν, τὸν τοιαύτην σοι, δωρησάμενον χάριν ἰαμάτων, ἣν παρέχεις τοῖς ἐν πίστει, τὰ σὰ ἱμάτια σέβουσιν.

Ἰαμάτων χαρίσματα, τοῖς πιστῶς προσεδρεύουσι, θήκη τῶν ἀμφίων σου ὦ Τιμόθεε, παρέχει πᾶσι καὶ γίνεται, τὰ πάντα τοῖς χρήζουσιν, ἀκεσώδυνον τερπνόν, καὶ τὴν χάριν τοῦ Πνεύματος, κομιζόμενοι, τὴν ἐν τούτοις ἀεὶ ἀνεκφοιτήτως, διαμένουσαν ὑμνοῦντες, τοὺς σοὺς ἀγῶνας πολύαθλε.

Τῷ ἀΰλῳ σου πνεύματι, ἐν ταῖς ἄνω λαμπρότησι, μακαρίων πνεύματα συνευφραίνονται, τὰ ὑλικὰ δέ σου ἄμφια, ἔχοντες οἱ δέσμιοι, τῆς σαρκὸς πάντες ἡμεῖς, ἐπὶ γῆς ἀγαλλόμεθα, ὅθεν σήμερον, ἑορτὴ οὐρανίων ἐπιγείων, γηθοσύνως συγκροτεῖται, ἐν τῇ σῇ μνήμῃ Τιμόθεε.

Δόξα. Ἦχος δ'.

Τετρωμένος ὅλος, τῇ πρὸς Χριστὸν τελειοτάτῃ ἀγάπῃ, Ὁσιόαθλε Τιμόθεε, πρὸς τοὺς μαρτυρικοὺς ἀγῶνας, ῥωμαλαίῳ φρονήματι ηὐτομόλησας, τοῦ σώματος μὴ φεισάμενος. Θεοῦ δὲ ἐτίμησας τῇ ἐκτομῇ τῆς σῆς θεόφρονος κεφαλῆς, καὶ τῇ ἐκχύσει τοῦ θείου σου αἵματος, τὸν δόλιον ἐναπέπνιξας. Παῤῥησίαν οὖν ἔχων

ἀθλητικὴν πρὸς Αὐτόν, ἱκέτευε ὑπὲρ τῶν ἐκτελούντων τὴν μνήμην σου, δωρηθῆναι ἡμῖν τὸ μέγα ἔλεος.
Καὶ νῦν. Θεοτοκίον.
Ἐκ παντοίων κινδύνων τοὺς δούλους Σου φύλαττε εὐλογημένη Θεοτόκε, ἵνα Σε δοξάζομεν, τὴν ἐλπίδα τῶν ψυχῶν ἡμῶν.

Δοξολογία Μεγάλη καὶ Ἀπόλυσις.

## ΕΙΣ ΤΗΝ ΛΕΙΤΟΥΡΓΙΑΝ

Τὰ τυπικά, καὶ ἐκ τοῦ Κανόνος τοῦ Ἁγίου ἡ γ΄ καὶ στ΄ ᾠδή.

Μεγαλυνάριον.
Ἔχων παῤῥησίαν πρὸς τὸν Θεόν, τῶν σοὶ προστρεχόντων, τὰ αἰτήματα συμπαθῶς, τὰ πρὸς σωτηρίαν, δίδου ταῖς σαῖς πρεσβείαις, Τιμόθεε γενναῖε, Ὁσιομάρτυς Χριστοῦ.

